# 0345-0407 - Iohannes Chrysostomus - In Jordanem fluvium

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 302 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

[00001] In Jordanem fluviumὰ

[00002] Εἰς τὸν Ἰορδάνην ποταμόν.

61.725

[00003] Διὰ τί παρὰ πάντας τοὺς ἐπὶ γῆς ποταμοὺς ἐπὶ τοῦ Ἰορδάνου ποταμοῦ ἐπιτελεῖ Χριστὸς τὸ μυστήριον τοῦ βαπτίσματος;

[00004] Ἀναγκαῖον ἱστορῆσαι τοῦ ποταμοῦ τὴν φύσιν, ἵνα ἐξ αὐτοῦ μάθῃς τὴν τῆς μυσταγωγίας ἀκολουθίαν.

[00005] Ὁ Ἰορδάνης παρὰ πάντας τοὺς ποταμοὺς δύο ῥίζας ἔχει πηγῶν·

[00006] οὐ γὰρ ἀπὸ μιᾶς πηγῆς προέρχεται ὁ Ἰορδάνης.

[00007] Ἔχει δὲ τὴν μὲν μίαν πηγὴν εἰς τὴν Πανιάδα, τὴν δὲ ἄλλην πλησίον τῆς Πανιάδος·

[00008] καὶ ἡ μὲν μία πηγὴ καλεῖται Ἰὸρ, ἡ δὲ ἄλλη Δάν·

[00009] καὶ κατ' ὀλίγον προερχόμεναι καὶ μεριζόμεναι ἀπ' ἀλλήλων αἱ πηγαὶ, κατά τινα τόπον συνέρχονται ἀλλήλαις, καὶ ἕνα ἀποτελοῦσι ποταμόν.

[00010] Ἀπέδωκαν δὲ αὐτῷ οἱ ἀρχαῖοι ὄνομα πρὸς τὰς ῥίζας, Ἰορδάνης, ὁ ἀπὸ τοῦ Ἰὸρ καὶ τοῦ Δὰν τεχθεὶς ποταμὸς, παρὰ τὰς ἀρχὰς σχιζομένας ἔχων τὰς ῥίζας, καὶ ἐπὶ τέλει συναπτομένας.

[00011] Παρὰ πάντας πάλιν τοὺς ποταμοὺς οὗτος εἰς ζῶσαν θάλασσαν οὐ τρέχει, καὶ ὕδωρ αὐτὸν θαλάσσης ζῶν οὐ δέχεται, ἀλλὰ δέχεται αὐτὸν ἡ νεκρὰ θάλασσα.

[00012] Οὗτος μόνος παρὰ πάντας τοὺς ποταμοὺς νεκροῖς καὶ ἀργοῖς ὕδασι συνάπτεται.

[00013] Ἔστι δὲ ὁ Ἰορδάνης τοῦ ἡμετέρου θνητοῦ γένους τύπος, καὶ ὅπως ἄκουε.

[00014] Ἀπ' ἀρχῆς τὸ γένος τὸ ἡμέτερον δύο ἔχει ῥίζας, τὸν Ἀδὰμ ἐκ γῆς πλασθέντα, τὴν Εὔαν ἀπὸ πλευρᾶς προελθοῦσαν·

[00015] καὶ οὐκ ἔστιν εἷς τόπος καὶ εἷς τρόπος τῆς καταστάσεως.

[00016] Ὁ μὲν γὰρ ἀπὸ γῆς ἐπλάσθη, πηγὴν ἔχων τὴν γῆν·

[00017] ἡ δὲ ἀπὸ πλευρᾶς ἐγένετο, ῥίζαν ἔχουσα τὴν πλευράν·

[00018] ἄλλη ἀρχὴ ἐκείνου, καὶ ἄλλη ταύτης.

[00019] Καὶ ἦσαν ἀπ' ἀλλήλων τέως μεριζόμενοι κατὰ τὸν τρόπον τῆς διαπλάσεως·

[00020] συνῆλθον δὲ εἰς συνάφειαν γαμικὴν, ἀπετελέσθη τὸ ἐξ ἀμφοτέρων ἓν σῶμα, καὶ οὐκέτι οἱ τικτόμενοι ἢ ἀπὸ πλευρᾶς ἢ ἀπὸ γῆς, ἀλλ' ἀπὸ συνουσίας ἐτίκτοντο.

[00021] Ἔσονται γὰρ, φησὶν, οἱ δύο εἰς σάρκα μίαν.

[00022] Τοῦτο γοῦν τὸ ἡμέτερον πλάσμα, δραμὸν εἰς ἀκολουθίαν φύσεως, τέλος ἔσχε τὸν θάνατον.

[00023] Ἤρξατο μὲν ἡμῶν τὸ πλάσμα ἀπὸ γῆς, καὶ ἔληγεν εἰς θάνατον·

[00024] καὶ ἐδέξατο τὸ πλάσμα τοῦτο ἡ νεκρὰ θάλασσα, ὁ βαθὺς, ὁ καταχθόνιος, ἡ ἄβυσσος τῶν νεκρῶν.

[00025] Ὃ γάρ ἐστι νεκρὰ θάλασσα τοῖς ζῶσιν ὕδασι, τοῦτό ἐστιν ὁ ᾅδης τοῖς ἀποθνήσκουσι.

[00026] Διὸ λέγει Παῦλος·

[00027] Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, Τίς καταβήσεται εἰς τὸν ᾅδην;

[00028] τουτέστι, Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν.

[00029] Περὶ τοῦτον οὖν τὸν Ἰορδάνην τὸν ἀπὸ ζωσῶν πηγῶν προερχόμενον, καὶ εἰς νεκρὰν θάλασσαν καταλήγοντα, πᾶσα ἡ τοῦ Θεοῦ ἐπετελεῖτο θαυματουργία, ἵνα μηκέτι τὸ ζῶν ὕδωρ τρέχῃ πρὸς θάνατον.

[00030] Τρίτον αὐτὸν τὸν Ἰορδάνην διέκοψεν ὁ Θεὸς, ὡς μηκέτι αὐτῷ τὴν ἀκολουθίαν εἶναι εἰς τὴν νεκρὰν θάλασσαν, ἀλλ' ἀνατρέχειν ἐπὶ τὰς ἀρχαίας ῥίζας τὰς ζώσας.

[00031] Ἐτμήθη ἐπὶ Ἰησοῦ τοῦ Ναυῆ·

[00032] ἐτμήθη καὶ ἐπὶ Ἠλία, ὅτε τῇ μηλωτῇ αὐτὸν ἔτεμεν·

[00033] ἐτμήθη ὑπὸ Ἐλισσαίου, ὅτε ὑποστρέφων ἔτεμεν αὐτόν.

[00034] Πρῶτος Ἰησοῦς ὁ τοῦ Ναυῆ ἔτεμε τὸν Ἰορδάνην·

[00035] καὶ ὅπως ἔτεμεν, ἄκουε.

[00036] Οὐκ ἔστητε τὰ ῥεῖθρα τῶν πηγῶν, ἀλλ' ἀπέστρεψε τὸ ὕδωρ εἰς τὰ ὀπίσω, ὡς μαρτυρεῖ ὁ ψαλμῳδὸς λέγων·

[00037] Τί σοί ἐστι, θάλασσα, ὅτι ἔφυγες;

[00038] καὶ σὺ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω;

[00039] Τὰ δὲ ὀπίσω ἦσαν αἱ πηγαί.

[00040] Ἀναχαιτίζων τοίνυν ὁ Σωτὴρ τὸ γένος τὸ ἡμέτερον τὸ τρέχον εἰς θάνατον, ποιεῖ μηκέτι τρέχειν εἰς θάνατον, ἀλλ' ἐπὶ τὰς ἀρχαίας ῥίζας τὰς ζώσας ἐπανιέναι, οὐκ εἰς τὴν νεκρὰν θάλασσαν καταλήγειν.

[00041] Ἀποκαθίσταται τοίνυν ἡ θνητὴ φύσις εἰς τὸ ἀρχαῖον σχῆμα.

[00042] Οὔτε εἷς δὲ φαίνεται τεμὼν τὸν Ἰορδάνην ἄνευ τινὸς συμβόλου.

[00043] Ἰησοῦς ὁ τοῦ Ναυῆ ἔχων κιβωτὸν ἔτεμεν.

[00044] Ἠλίας ἔχων μηλωτήν.

[00045] Ἐλισσαῖος ἔχων πάλιν τὴν

[00046] Επιτρέπετα

[00047] μηλωτὴν τοῦ διδασκάλου ἔτεμεν.

[00048] Ἐπειδὴ γὰρ ἡ θνητὴ φύσις οὐκ ἤρκει καθ' ἑαυτὴν στῆσαι τὸ ῥεῖθρον, εἰσέρχεται Ἰησοῦς πρῶτος φέρων μὲν τοῦ Δεσπότου τὴν προσηγορίαν, ἐπαγόμενος δὲ μεθ' ἑαυτοῦ τὴν κιβωτὸν, τὸ σύμβολον τοῦ δεσποτικοῦ σώματος.

[00049] Καὶ φαίνεται ὁ Ἰορδάνης οὔτε τὸν Ἰησοῦν τιμήσας, τὸν ψιλὸν ἄνθρω

[00050] [61.726] πον ἐκεῖνον, λέγω τὸν τοῦ Ναυῆ, οὔτε τοὺς Ἰουδαίους αἰδεσθεὶς, οὔτε τοὺς ἱερεῖς ἐντραπείς.

[00051] Καὶ ἵνα δειχθῇ ὅτι οὐ τῷ λαῷ ὑποχωρεῖ, ἀλλὰ τὴν κιβωτὸν αἰδεῖται, λέγει Ἰησοῦς·

[00052] Ἰδοὺ ἡ κιβωτὸς τοῦ κυριεύοντος πάσης τῆς γῆς διέρχεται τὸν Ἰορδάνην.

[00053] Καὶ ἔσται, ὅταν εἰσέλθωσιν οἱ πόδες τῶν ἱερέων τῶν βασταζόντων τὴν κιβωτὸν, ὁ Ἰορδάνης ἐκλείψει, οὐ τοὺς ἱερεῖς αἰδούμενος, ἀλλὰ τὴν κιβωτόν.

[00054] Καὶ πόθεν τοῦτο, ἄκουε.

[00055] Ἐρωτᾷ αὐτὸν ὁ Δαυῒδ λέγων·

[00056] Τί σοί ἐστι, θάλασσα, ὅτι ἔφυγες;

[00057] καὶ σὺ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω;

[00058] Πρὸς ταῦτα ἀποκρίνεται ἡ δημιουργία λέγουσα·

[00059] Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ.

[00060] Πρόσωπον δὲ Κυρίου ἦν τὸ σχῆμα τῆς κιβωτοῦ.

[00061] Ὃ γὰρ ἦν ἡ κιβωτὸς τῷ νόμῳ καὶ ταῖς πλαξὶ καὶ τῇ στάμνῳ καὶ τῇ ῥάβδῳ, τοῦτο ἦν τῆς ἀκαταλήπτου θεότητος ἡ σὰρξ ἡ δεσποτικὴ, ὡς ἐν κιβωτῷ φέρουσα τὴν θεότητα.

[00062] Περὶ ταύτης τῆς ἁγίας κιβωτοῦ ἔλεγεν ὁ μακάριος Δαυῒδ·

[00063] Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου.

[00064] Καὶ ὅρα τί ποιεῖ·

[00065] ὅτι ἐξηράνθη ὁ Ἰορδάνης, οὐκ ἀπολέσας τὰ ῥεῖθρα, ἀλλ' εἰς τὰς ἀρχαίας ῥίζας ἀναποδήσας, Ἐπῆρε, φησὶν, Ἰησοῦς ἀπὸ τοῦ Ἰορδάνουδώδεκα λίθους μεγάλους, καὶ ἔστησεν αὐτοὺς πέραν τοῦ ποταμοῦ·

[00066] ἔθηκε δὲ ἀντ' αὐτῶν ἄλλους δώδεκα λίθους ἐν τῷ ποταμῷ.

[00067] Τί βούλεται τοῦτο εἶναι τὸ περιαιρεθῆναι δώδεκα λίθους, καὶ τεθῆναι ἀντ' αὐτῶν ἄλλους δώδεκα;

[00068] Ἐπειδὴ, ὡς ἔφθην εἰπὼν, τὴν θνητὴν φύσιν ἀνεχαίτιζε·

[00069] μᾶλλον δὲ βούλεται δεῖξαι ὅτι ἀνασπᾷ τὴν ἀνθρωπότητα ἐκ τῶν βυθῶν, καὶ ἀνάγει εἰς τὸν οὐρανόν.

[00070] Τοὺς γὰρ λίθους τοὺς μηδέποτε θεασαμένους ἡλιακὴν ἀκτῖνα, μήτε φωτὸς δεξαμένους ὄψιν, ἥπλωσεν εἰς φῶς, καὶ ἦσαν εἰς γῆν ἐκ βυθοῦ ἀνασπασθέντες.

[00071] Διὰ τί δὲ δώδεκα λίθους ἔλαβεν ἐκεῖθεν;

[00072] Ἐπειδὴ διὰ τῶν δώδεκα ἀποστόλων ἔμελλεν ἀνασπᾷν τὴν ἀνθρωπότητα ἀπὸ τῆς θνητῆς φύσεως.

[00073] Ἔστω δὲ, τοὺς ὄντας κάτω λίθους περιεῖλεν, ἵνα δείξῃ τῷ ἡλίῳ καὶ τῷ φωτὶ καὶ τοῖς μετὰ ταῦτα ἀνθρώποις ἐναργῆ ὄψιν, πῶς διέβησαν τὸν Ἰορδάνην·

[00074] καὶ γὰρ καὶ τὴν αἰτίαν ἐσήμανεν·

[00075] Ἐὰν ἐρωτήσῃ σε, φησὶν, ὁ υἱός σου, λέγων·

[00076] Τί εἰσιν οἱ λίθοι οὗτοι;

[00077] εἰπὲ αὐτῷ, ὅτι, Ἐπὶ ξηρᾶς διέβημεν τὸν Ἰορδάνην, κωλύσαντος τοῦ Θεοῦ τὸ ὕδωρ πρὸ προσώπου ἡμῶν.

[00078] Ἀλλ' ἔστω, οἱ ἀνενεχθέντες λίθοι ἐτέθησαν, ἵνα φανῶσι τοῖς μετὰ ταῦτα·

[00079] οἱ ἀντιτεθέντες διὰ τί ἀντετέθησαν;

[00080] Ἔλαβεν ἐκ τῶν βυθῶν τοὺς βεβυθισμένους, καὶ ἔδωκε τῷ βυθῷ πάλιν ἐνέχυρα σωτηρίας.

[00081] Οἱ τεθέντες λίθοι ἐνέχυρα, οἱ ληφθέντες ἀσφάλεια.

[00082] Καὶ πολλὴ ἡ περὶ τούτων θεωρία, καὶ διὰ τί ἐτέθησαν λίθοι, καὶ διὰ τί περιῃρέθησαν λίθοι.

[00083] Χριστὸς καὶ λαμβάνει, καὶ δίδωσιν.

[00084] Ἦλθεν εἰς τὸν κόσμον, καὶ ἀνέλαβε τὸ σῶμα τὸ ἡμέτερον, δεδωκὼς ἡμῖν τὴν ἑαυτοῦ δύναμιν.

[00085] Διὰ τῶν ἀποστόλων ἀντιτίθησι τῷ ποταμῷ δώδεκα λίθους, ἐνέχυρον σωτηρίας, καὶ ἀῤῥαβῶνα τῶν μελλόντων.

[00086] Ὁ γὰρ δεδωκώς τινί τι εἴς τι πρᾶγμα, ἐνεχυριάζει αὐτῷ εἰς τὸ μέλλον.

[00087] Ἐπειδὴ οὖν ἔμελλε τοῦτο τὸ ὄνομα πάλιν αὐτῷ τηρεῖσθαι, ὅτε ἔμελλε βαπτίζεσθαι ὑπὸ Ἰωάννου, προλαβὼν ἀπέθετο τὰ ἐνέχυρα τῆς ἐπιφανείας, καὶ ἔστησε τοὺς λίθους, οὓς μὲν ἔλαβεν ἐκεῖθεν, τοὺς πατριάρχας, οὓς ἤγειρε τότε·

[00088] οὓς δὲ ἀντέθηκε, τοὺς ἀποστόλους, οὓς ἔδωκεν ἀντ' ἐκείνων.

[00089] Ἀντὶ γὰρ τῶν πατέρων σου ἐγεννήθησάν σοι υἱοί.

[00090] Οὕτω διέβη τὸν Ἰορδάνην, καὶ γίνεται ὁ Ἰορδάνης Ἰησοῦ τῷ τοῦ Ναυῆ ἀρχὴ τῆς κατασχέσεως τῆς γῆς.

[00091] Ἕως ὅτε παρῆλθε τὸν Ἰορδάνην, οὐκ ἐκληρονόμησε τὴν ἐπηγγελμένην γῆν·

[00092] ἕως ὅτε Χριστὸς παρῆλθε τὸν Ἰορδάνην, οὐκ ἤρξατο κηρύσσειν τὴν βασιλείαν.

[00093] Ἀρχὴ τῆς κατασχέσεως τῆς γῆς ὁ Ἰορδάνης, ἀρχὴ τῆς κατασχέσεως τῆς βασιλείας τῶν οὐρανῶν ὁ Ἰορδάνης.

[00094] Διὰ τοῦτο ὁ προφήτης

[00095] Επιτρέπετα

[00096] λέγει·

[00097] Μνησθήσομαί σου, Κύριε, ἐκ γῆς Ἰορδάνου.

[00098] Μνήμη γάρ [61.727] ἐστιν ἀνεξάλειπτος.

[00099] Ὁ μὲν Ἰησοῦς οὕτω διαβὰς ἔτεμε τὸν Ἰορδάνην, τὴν κιβωτὸν αὐτῷ δείξας·

[00100] Ἠλίας δὲ τῇ μηλωτῇ ἔτεμε, δέρματι νεκρῷ, καὶ τὰ ζῶντα ὕδατα τῇ νεκρώσει τῆς μηλωτῆς ὑπήκουσεν.

[00101] Ἔτεμεν Ἠλίας τῇ μηλωτῇ τὸν Ἰορδάνην·

[00102] καὶ οὕτω διέβη ἐπὶ τῷ ἀνελθεῖν εἰς τοὺς οὐρανούς.

[00103] Ὑπέστρεψεν ὁ μακάριος Ἐλισσαῖος λαβὼν τὴν μηλωτὴν τοῦ διδασκάλου, ὡς ἠξίου αὐτὸν λέγων·

[00104] Τὸ πνεῦμα τὸ ἐπὶ σοὶ γενέσθω διπλοῦν ἐπ' ἐμοί.

[00105] Λέγει αὐτῷ, Σκληρῶς ᾔτησας·

[00106] πλὴν ἐὰν ἴδῃς με ἀναλαμβανόμενον, ἔσται σοι.

[00107] Ἀντὶ τοῦ καταξιωθῆναι διπλῆν ἔχειν τοῦ ἁγίου Πνεύματος τὴν ἐνέργειαν.

[00108] Εἶτα ἀνελήφθη.

[00109] Ἐμετεωρίσθη ἡ μηλωτὴ, καὶ ἐπέπεσε τῷ μαθητῇ·

[00110] ἔλαβεν ἐνέχυρον, καὶ ἔφθα [61.728] σεν ἐπὶ τὸν ποταμόν·

[00111] ἐπείρασε τεμεῖν τὸν Ἰορδάνην, καὶ οὐχ ὑπήκουσε τὸ ὕδωρ.

[00112] Ἀπορίᾳ ληφθεὶς ὁ Ἐλισσαῖος λέγει·

[00113] Ποῦ ὁ Θεὸς Ἠλία ἀπφώ;

[00114] καὶ μετὰ τὸ εἰπεῖν, ἐπάταξεν ἐκ δευτέρου τὸ ὕδωρ, καὶ ἐμερίσθη ὁ Ἰορδάνης.

[00115] Διὰ τί δὲ οὐχ ὑπήκουσεν αὐτῷ ἐν πρώτοις τὸ ὕδωρ;

[00116] Ἵνα μὴ νομίσῃ, ὅτι διὰ τὴν προτέραν αὐτοῦ ἀξίαν, ἣν εἶχε, διὰ τοῦτο ὑπήκουσεν·

[00117] ὅτι μέντοι ἐκάλεσε τὸν Θεὸν καὶ λέγει·

[00118] Ποῦ ὁ Θεὸς Ἠλία ἀπφώ;

[00119] Διὰ τί δὲ εἶπε, Ποῦ ὁ Θεός;

[00120] οὐκ ᾔδει ὁ προφήτης, ὅτι ὁ Θεὸς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς καὶ πανταχοῦ ἐστιν;

[00121] Ἀλλ' ἐπειδὴ εἶπεν αὐτῷ ὁ Ἠλίας·

[00122] Ἐὰν ἴδῃς με ἀναλαμβανόμενον, ἔσται σοι οὕτως.

[00123] Επιτρέπετα

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - In Jordanem fluvium**
**Litterarum Omnium Conspectus: 116 Litterae, quae repetitae sunt in 6,515 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 442 | Α | 0913 | 0 |
| β | 0946 | 47 | Β | 0914 | 0 |
| γ | 0947 | 83 | Γ | 0915 | 0 |
| δ | 0948 | 146 | Δ | 0916 | 0 |

| | | | | | |
|---|---|---|---|---|---|
| ε | 0949 | 346 | Ε | 0917 | 6 |
| ζ | 0950 | 24 | Ζ | 0918 | 0 |
| η | 0951 | 131 | Η | 0919 | 0 |
| θ | 0952 | 110 | Θ | 0920 | 8 |
| ι | 0953 | 225 | Ι | 0921 | 1 |
| κ | 0954 | 165 | Κ | 0922 | 11 |
| λ | 0955 | 193 | Λ | 0923 | 1 |
| μ | 0956 | 141 | Μ | 0924 | 3 |
| ν | 0957 | 524 | Ν | 0925 | 5 |
| ξ | 0958 | 18 | Ξ | 0926 | 0 |
| ο | 0959 | 392 | Ο | 0927 | 5 |
| π | 0960 | 201 | Π | 0928 | 13 |
| ρ | 0961 | 220 | Ρ | 0929 | 0 |
| ς | 0962 | 283 | • | 0930 | 0 |
| σ | 0963 | 231 | Σ | 0931 | 2 |
| τ | 0964 | 554 | Τ | 0932 | 10 |
| υ | 0965 | 110 | Υ | 0933 | 0 |
| φ | 0966 | 35 | Φ | 0934 | 0 |
| χ | 0967 | 59 | Χ | 0935 | 4 |
| ψ | 0968 | 8 | Ψ | 0936 | 0 |
| ω | 0969 | 102 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 1 | | | 0 |
| ῥ | 8165 | 13 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 95 | έ | 8051 | 99 | ή | 8053 | 28 | ί | 8055 | 112 | ό | 8057 | 42 | ύ | 8059 | 26 | ώ | 8061 | 18 |
| ὰ | 8048 | 63 | ὲ | 8050 | 27 | ὴ | 80852 | 57 | ὶ | 8054 | 85 | ὸ | 8056 | 105 | ὺ | 8058 | 25 | ὼ | 8060 | 5 |
| ᾶ | 8118 | 8 | | | 0 | ῆ | 8134 | 53 | ῖ | 8150 | 38 | | | 0 | ῦ | 8166 | 69 | ῶ | 8182 | 38 |
| ἀ | 7936 | 83 | ἐ | 7952 | 77 | ἠ | 7968 | 1 | ἰ | 7984 | 35 | ὀ | 8000 | 5 | ὐ | 8016 | 41 | ὠ | 8032 | 0 |
| ἁ | 7937 | 3 | ἑ | 7953 | 3 | ἡ | 7969 | 28 | ἱ | 7985 | 17 | ὁ | 8001 | 30 | ὑ | 8017 | 8 | ὡ | 8033 | 5 |
| ἂ | 7938 | 0 | ἒ | 7954 | 0 | ἢ | 7970 | 2 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 1 | ἣ | 7971 | 1 | ἳ | 7987 | 0 | ὃ | 8003 | 0 | ὓ | 8019 | 4 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 12 | ἔ | 7956 | 41 | ἤ | 7972 | 3 | ἴ | 7988 | 4 | ὄ | 8004 | 5 | ὔ | 8020 | 5 | ὤ | 8036 | 0 |

| | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ἅ | 7941 | 0 | ἕ | 7957 | 2 | ἥ | 7973 | 1 | ἵ | 7989 | 5 | ὅ | 8005 | 20 | ὕ | 8021 | 14 | ὥ | 8037 | 0 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 6 | ἶ | 7990 | 6 | | | 0 | ὖ | 8022 | 2 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 3 | | | 0 | ὗ | 8023 | 3 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 2 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 2 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 0 |
| ᾳ | 8115 | 2 | | | 0 | ῃ | 8131 | 9 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 5 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 3 | | | 0 | ῇ | 8135 | 12 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 26 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - In Jordanem fluvium**
**Verborum Omnium Conspectus: 601Verba, quae repetita sunt in 2,301,326 occasionibus**

---

**ἄβυσσος** [00024]
**ἁγίας** [00062]
**ἁγιάσματός** [00063]
**ἁγίου** [00107]
**Ἀδὰμ** [00014]
**ᾅδην** [00027]
**ᾅδης** [00025]
**αἱ** [00009] [00039]
**αἰδεῖται** [00051]
**αἰδεσθεὶς** [00050]
**αἰδούμενος** [00053]
**αἰτίαν** [00074]
**ἀκαταλήπτου** [00061]
**ἀκολουθίαν** [00004] [00022] [00030]
**ἄκουε** [00013] [00035] [00054]
**ἀκτῖνα** [00070]
**ἀλλ** [00020] [00030] [00036] [00040] [00065]
**Ἀλλ** [00078] [00121]
**ἀλλὰ** [00011] [00051] [00053]
**ἄλλη** [00008] [00018] [00018]
**ἀλλήλαις** [00009]
**ἀλλήλων** [00009] [00019]
**ἄλλην** [00007]
**ἄλλους** [00066] [00067]
**ἀμφοτέρων** [00020]
**ἀναγαγεῖν** [00028]
**ἀνάγει** [00069]
**Ἀναγκαῖον** [00004]
**ἀναλαμβανόμενον** [00106] [00122]
**ἀνάπαυσίν** [00063]
**ἀναποδήσας** [00065]
**ἀνασπᾷ** [00069]
**ἀνασπᾷν** [00072]
**ἀνασπασθέντες** [00070]
**Ἀνάστηθι** [00063]
**ἀνατρέχειν** [00030]
**Ἀναχαιτίζων** [00040]
**ἀνέλαβε** [00084]
**ἀνελήφθη** [00108]
**ἀνελθεῖν** [00102]
**ἀνενεχθέντες** [00078]
**ἀνεξάλειπτος** [00098]
**ἄνευ** [00042]
**ἀνεχαίτιζε** [00068]
**ἄνθρω** [00049]

ἀνθρώποις [00073]
ἀνθρωπότητα [00069] [00072]
ἀντ [00066] [00067] [00088]
ἀντέθηκε [00088]
ἀντετέθησαν [00079]
Ἀντὶ [00089] [00107]
ἀντιτεθέντες [00079]
ἀντιτίθησι [00085]
ἀξίαν [00116]
ἀπ [00009] [00019]
Ἀπ [00014]
Ἀπέδωκαν [00010]
ἀπέθετο [00087]
ἀπέστρεψε [00036]
ἀπετελέσθη [00020]
ἀποθνήσκουσι [00025]
Ἀποκαθίσταται [00041]
ἀποκρίνεται [00058]
ἀπολέσας [00065]
Ἀπορίᾳ [00112]
ἀποστόλους [00088]
ἀποστόλων [00072] [00085]
ἀποτελοῦσι [00009]
ἀπφώ [00113] [00118]
ἀργοῖς [00012]
ἀῤῥαβῶνα [00085]
ἀρχαίας [00030] [00040] [00065]
ἀρχαῖοι [00010]
ἀρχαῖον [00041]
ἀρχὰς [00010]
ἀρχὴ [00018] [00090] [00093]
Ἀρχὴ [00093]
ἀρχῆς [00014]
ἀσφάλεια [00081]
αὐτὸν [00011] [00011] [00030] [00032] [00055] [00103]
αὐτόν [00033]
αὐτοῦ [00004] [00116]
αὐτοὺς [00065]
αὐτῷ [00010] [00030] [00077] [00086] [00087] [00099] [00105] [00115] [00121]
αὐτῶν [00066] [00067]

βαθὺς [00024]
βαπτίζεσθαι [00087]
βαπτίσματος [00003]
βασιλείαν [00092]
βασιλείας [00093]
βασταζόντων [00053]
βεβυθισμένους [00080]
βούλεται [00067] [00069]
βυθοῦ [00070]
βυθῷ [00080]
βυθῶν [00069] [00080]

γαμικὴν [00020]
γὰρ [00006] [00016] [00021] [00048] [00061] [00070] [00074] [00086] [00089]
γάρ [00025] [00098]
γενέσθω [00104]
γένος [00014] [00040]
γένους [00013]
γῆ [00059]
γῆν [00016] [00070] [00091]
γῆς [00003] [00014] [00016] [00020] [00023] [00052] [00090] [00093] [00097] [00120]
γίνεται [00090]
γοῦν [00022]

Δὰν [00010]
Δάν [00008]
Δαυῒδ [00055]
Δαυῒδ [00062]
δὲ [00007] [00007] [00008] [00010] [00013] [00017] [00020] [00039] [00042] [00048] [00060] [00066] [00069] [00071] [00073] [00088] [00100] [00115] [00119]
δεδωκὼς [00084]
δεδωκώς [00086]
δεῖξαι [00069]
δείξας [00099]
δείξῃ [00073]
δειχθῇ [00051]
δεξαμένους [00070]
δέρματι [00100]
δεσποτικὴ [00061]
δεσποτικοῦ [00048]
Δεσπότου [00048]
δευτέρου [00114]
δέχεται [00011] [00011]
δημιουργία [00058]
Διὰ [00003] [00071] [00085] [00094] [00115] [00119]
διὰ [00072] [00079] [00082] [00082] [00116] [00116]
διαβὰς [00099]
διαπλάσεως [00019]
διδασκάλου [00047] [00103]
δίδωσιν [00083]
διέβη [00090] [00102]
διέβημεν [00077]
διέβησαν [00073]
διέκοψεν [00030]
διέρχεται [00052]
Διὸ [00026]
διπλῆν [00107]
διπλοῦν [00104]
δραμὸν [00022]
δύναμιν [00084]
δύο [00005] [00014] [00021]
δώδεκα [00066] [00067] [00067] [00071] [00072] [00085]

ἐὰν [00106]
Ἐὰν [00075] [00122]
ἑαυτὴν [00048]
ἑαυτοῦ [00048] [00084]
ἐγένετο [00017]

**ἐγεννήθησάν** [00089]
**ἐδέξατο** [00024]
**ἔδωκε** [00080]
**ἔδωκεν** [00088]
**ἔθηκε** [00066]
**εἶναι** [00030] [00067]
**εἰπὲ** [00077]
**εἶπε** [00119]
**εἰπεῖν** [00114]
**εἶπεν** [00121]
**εἴπῃς** [00027]
**εἰπὼν** [00068]
**Εἰς** [00002]
**εἰς** [00007] [00011] [00020] [00021] [00022] [00023] [00027] [00029] [00030] [00036] [00038] [00040] [00040] [00040] [00041] [00057] [00063] [00065] [00069] [00070] [00070] [00084] [00086] [00102]
**εἵς** [00086]
**εἷς** [00015] [00015] [00042]
**εἰσέλθωσιν** [00053]
**εἰσέρχεται** [00048]
**εἰσιν** [00076]
**Εἶτα** [00108]
**εἶχε** [00116]
**ἐκ** [00014] [00028] [00069] [00070] [00080] [00097] [00114]
**ἐκάλεσε** [00117]
**ἐκεῖθεν** [00071] [00087]
**ἐκεῖνον** [00050]
**ἐκείνου** [00018]
**ἐκείνων** [00088]
**ἐκλείψει** [00053]
**ἐκληρονόμησε** [00091]
**ἔλαβεν** [00071] [00087] [00110]
**Ἔλαβεν** [00080]
**ἔλεγεν** [00062]
**ἔληγεν** [00023]
**Ἑλισσαῖος** [00045] [00103] [00112]
**Ἑλισσαίου** [00033]
**ἔμελλε** [00087] [00087]
**ἔμελλεν** [00072]
**ἐμερίσθη** [00114]
**Ἐμετεωρίσθη** [00109]
**ἐμοί** [00104]
**ἐν** [00027] [00061] [00066] [00115] [00120]
**ἓν** [00020]
**ἕνα** [00009]
**ἐναργῆ** [00073]
**ἐνέργειαν** [00107]
**ἐνέχυρα** [00080] [00081] [00087]
**ἐνεχυριάζει** [00086]
**ἐνέχυρον** [00085] [00110]
**ἐντραπείς** [00050]
**ἐξ** [00004] [00020]
**ἐξηράνθη** [00065]
**ἐπ** [00104]
**ἐπαγόμενος** [00048]
**ἐπανιέναι** [00040]
**ἐπάταξεν** [00114]
**ἐπειδὴ** [00121]
**Ἐπειδὴ** [00048] [00068] [00072] [00087]
**ἐπείρασε** [00111]
**ἐπέπεσε** [00109]
**ἐπετελεῖτο** [00029]
**ἐπηγγελμένην** [00091]
**Ἐπῆρε** [00065]
**ἐπὶ** [00003] [00003] [00010] [00030] [00031] [00032] [00040] [00102] [00104] [00110] [00120]
**Ἐπὶ** [00077]
**ἐπιτελεῖ** [00003]
**Επιτρέπετα** [00046] [00095] [00123]
**ἐπιφανείας** [00087]
**ἐπλάσθη** [00016]
**Ἐρωτᾷ** [00055]
**ἐρωτήσῃ** [00075]
**ἐσαλεύθη** [00059]
**ἐσήμανεν** [00074]
**Ἔσονται** [00021]
**ἔσται** [00053] [00106] [00122]
**ἔστησε** [00087]
**ἔστησεν** [00065]
**ἔστητε** [00036]
**ἐστι** [00025] [00037] [00056]
**Ἔστι** [00013]
**ἐστιν** [00025] [00098] [00120]
**ἔστιν** [00015]
**ἐστράφης** [00038] [00057]
**ἔστω** [00078]
**Ἔστω** [00073]
**ἔσχε** [00022]
**ἐτέθησαν** [00078] [00082]
**ἔτεμε** [00034] [00099] [00100]
**ἔτεμεν** [00032] [00033] [00035] [00043] [00047]
**Ἔτεμεν** [00101]
**ἐτίκτοντο** [00020]
**ἐτμήθη** [00032] [00033]
**Ἐτμήθη** [00031]
**Εὗαν** [00014]
**ἔφθα** [00110]
**ἔφθην** [00068]
**ἔφυγες** [00037] [00056]
**ἔχει** [00005] [00014]
**Ἔχει** [00007]
**ἔχειν** [00107]
**ἔχουσα** [00017]
**ἔχων** [00010] [00016] [00043] [00044] [00045]
**ἕως** [00092]
**Ἕως** [00091]

**ζῶν** [00011] [00029]
**ζῶντα** [00100]
**ζῶσαν** [00011]
**ζώσας** [00030] [00040]
**ζῶσιν** [00025]
**ζωσῶν** [00029]

**ἡ** [00008] [00008] [00011] [00017] [00024] [00024] [00029] [00041] [00048] [00052] [00058] [00059] [00061] [00061] [00061] [00063] [00082] [00109]

**ᾗ** [00020] [00020]
**ἤγειρε** [00087]
**ᾔδει** [00120]
**Ἦλθεν** [00084]
**Ἠλία** [00032] [00113] [00118]
**ἡλιακὴν** [00070]
**Ἠλίας** [00044] [00100] [00101] [00121]
**ἡλίῳ** [00073]
**ἡμέτερον** [00014] [00022] [00040] [00084]
**ἡμετέρου** [00013]
**ἡμῖν** [00084]
**ἡμῶν** [00023] [00077]
**ἣν** [00116]
**ἦν** [00060] [00061] [00061]
**ἠξίου** [00103]
**ἥπλωσεν** [00070]
**ἤρκει** [00048]
**ἤρξατο** [00092]
**Ἤρξατο** [00023]
**ἦσαν** [00019] [00039] [00070]
**ᾔτησας** [00105]

**θάλασσα** [00011] [00024] [00025] [00037] [00056]
**θάλασσαν** [00011] [00029] [00030] [00040]
**θαλάσσης** [00011]
**θάνατον** [00022] [00023] [00029] [00040] [00040]
**θαυματουργία** [00029]
**θεασαμένους** [00070]
**Θεὸν** [00117]
**Θεὸς** [00030] [00113] [00118] [00120]
**Θεός** [00119]
**θεότητα** [00061]
**θεότητος** [00061]
**Θεοῦ** [00029] [00077]
**θεωρία** [00082]
**θνητὴ** [00041] [00048]
**θνητὴν** [00068]
**θνητῆς** [00072]
**θνητοῦ** [00013]

**ἴδης** [00106] [00122]
**Ἰδοὺ** [00052]
**ἱερεῖς** [00050] [00053]
**ἱερέων** [00053]
**Ἰησοῦ** [00031] [00090]
**Ἰησοῦν** [00049]
**Ἰησοῦς** [00034] [00043] [00048] [00051] [00065] [00099]
**ἵνα** [00004] [00029] [00051] [00073] [00078]
**Ἵνα** [00116]
**Ἰὸρ** [00008] [00010]
**Ἰορδάνη** [00038] [00057]
**Ἰορδάνην** [00002] [00029] [00030] [00034] [00042] [00052] [00073] [00077] [00090] [00091] [00092] [00099] [00101] [00111]
**Ἰορδάνης** [00005] [00006] [00010] [00013] [00049] [00053] [00065] [00090] [00093] [00093] [00114]
**Ἰορδάνου** [00003] [00097]
**Ἰορδάνουδώδεκα** [00065]
**Ἰουδαίους** [00050]
**ἱστορῆσαι** [00004]
**Ἰωάννου** [00087]
**In** [00001]

**καθ** [00048]
**καλεῖται** [00008]
**καρδίᾳ** [00027]
**κατ** [00009]
**καταβήσεται** [00027]
**καταλήγειν** [00040]
**καταλήγοντα** [00029]
**καταξιωθῆναι** [00107]
**καταστάσεως** [00015]
**κατασχέσεως** [00090] [00093] [00093]
**καταχθόνιος** [00024]
**κάτω** [00073]
**κηρύσσειν** [00092]
**κιβωτὸν** [00043] [00048] [00051] [00053] [00099]
**κιβωτόν** [00053]
**κιβωτὸς** [00052] [00061] [00063]
**κιβωτοῦ** [00060] [00062]
**κιβωτῷ** [00061]
**κόσμον** [00084]
**Κύριε** [00063] [00097]
**κυριεύοντος** [00052]
**Κυρίου** [00059] [00060]
**κωλύσαντος** [00077]

**λαβὼν** [00103]
**λαμβάνει** [00083]
**λαῷ** [00051]
**Λέγει** [00105]
**λέγει** [00026] [00051] [00096] [00112] [00117]
**λέγουσα** [00058]
**λέγω** [00050]
**λέγων** [00036] [00055] [00075] [00103]
**ληφθεὶς** [00112]
**ληφθέντες** [00081]
**λίθοι** [00076] [00078] [00081] [00082] [00082]
**λίθους** [00065] [00066] [00067] [00070] [00071] [00073] [00085] [00087]

**μάθης** [00004]
**μαθητῇ** [00109]
**μακάριος** [00062] [00103]
**μᾶλλον** [00069]
**μαρτυρεῖ** [00036]
**με** [00106] [00122]
**μεγάλους** [00065]
**μεθ** [00048]
**μέλλον** [00086]
**μελλόντων** [00085]

**μὲν** [00007] [00008] [00016] [00023] [00048] [00087] [00099]
**μέντοι** [00117]
**μεριζόμεναι** [00009]
**μεριζόμενοι** [00019]
**μηδέποτε** [00070]
**μηκέτι** [00029] [00030] [00040]
**μηλωτὴ** [00109]
**μηλωτῇ** [00032] [00100] [00101]
**μηλωτὴν** [00047] [00103]
**μηλωτήν** [00044]
**μηλωτῆς** [00100]
**μήτε** [00070]
**μία** [00008]
**μίαν** [00007] [00021]
**μιᾶς** [00006]
**Μνήμη** [00098]
**Μνησθήσομαί** [00097]
**μόνος** [00012]
**μυσταγωγίας** [00004]
**μυστήριον** [00003]

**Ναυῆ** [00031] [00034] [00043] [00050] [00090]
**νεκρὰ** [00011] [00024] [00025]
**νεκρὰν** [00029] [00030] [00040]
**νεκροῖς** [00012]
**νεκρῷ** [00100]
**νεκρῶν** [00024] [00028]
**νεκρώσει** [00100]
**νομίσῃ** [00116]
**νόμῳ** [00061]

**ξηρᾶς** [00077]

**ὁ** [00006] [00010] [00013] [00024] [00024] [00025] [00030] [00034] [00036] [00040] [00043] [00049] [00053] [00055] [00062] [00065] [00075] [00090] [00093] [00093] [00094] [00103] [00112] [00113] [00114] [00118] [00119] [00120] [00120] [00121]
**Ὁ** [00005] [00016] [00086] [00099]
**Ὃ** [00025] [00061]
**Οἱ** [00081]
**οἱ** [00010] [00020] [00021] [00053] [00076] [00078] [00079] [00081]
**ὀλίγον** [00009]
**ὄνομα** [00010] [00087]
**ὄντας** [00073]
**ὀπίσω** [00036] [00038] [00039] [00057]
**ὅπως** [00013] [00035]
**ὅρα** [00064]
**ὅταν** [00053]
**ὅτε** [00032] [00033] [00087] [00091] [00092]
**ὅτι** [00037] [00038] [00051] [00056] [00057] [00065] [00069] [00077] [00116] [00117] [00120]
**οὐ** [00006] [00011] [00011] [00051] [00053]
**Οὐκ** [00036]
**οὐκ** [00015] [00040] [00048] [00065] [00091] [00092] [00120]
**οὐκέτι** [00020]
**οὖν** [00029] [00087]
**οὐρανόν** [00069]
**οὐρανούς** [00102]
**οὐρανῷ** [00120]
**οὐρανῶν** [00093]
**οὓς** [00087] [00087] [00088] [00088]
**Οὔτε** [00042]
**οὔτε** [00049] [00050] [00050]
**οὗτοι** [00076]
**Οὗτος** [00012]
**οὗτος** [00011]
**Οὕτω** [00090]
**οὕτω** [00099] [00102]
**οὕτως** [00122]
**οὐχ** [00111] [00115]
**ὄψιν** [00070] [00073]

**πάλιν** [00011] [00045] [00080] [00087]
**Πανιάδα** [00007]
**Πανιάδος** [00007]
**πάντας** [00003] [00005] [00011] [00012]
**πανταχοῦ** [00120]
**Παρὰ** [00011]
**παρὰ** [00003] [00005] [00010] [00012]
**παρῆλθε** [00091] [00092]
**πᾶσα** [00029]
**πάσης** [00052]
**πατέρων** [00089]
**πατριάρχας** [00087]
**Παῦλος** [00026]
**πέραν** [00065]
**Περὶ** [00029] [00062]
**περὶ** [00082]
**περιαιρεθῆναι** [00067]
**περιεῖλεν** [00073]
**περιῃρέθησαν** [00082]
**πηγαὶ** [00009]
**πηγαί** [00039]
**πηγὴ** [00008]
**πηγὴν** [00007] [00016]
**πηγῆς** [00006]
**πηγῶν** [00005] [00029] [00036]
**πλαξὶ** [00061]
**πλασθέντα** [00014]
**πλάσμα** [00022] [00023] [00024]
**πλευράν** [00017]
**πλευρᾶς** [00014] [00017] [00020]
**πλὴν** [00106]
**πλησίον** [00007]
**πνεῦμα** [00104]
**Πνεύματος** [00107]
**πόδες** [00053]
**πόθεν** [00054]
**ποιεῖ** [00040] [00064]
**πολλὴ** [00082]
**πον** [00050]

**ποταμόν** [00002] [00009] [00110]
**ποταμὸς** [00010]
**ποταμοῦ** [00003] [00004] [00065]
**ποταμοὺς** [00003] [00005] [00011] [00012]
**ποταμῷ** [00066] [00085]
**Ποῦ** [00113] [00118] [00119]
**πρᾶγμα** [00086]
**πρὸ** [00077]
**προελθοῦσαν** [00014]
**προέρχεται** [00006]
**προερχόμεναι** [00009]
**προερχόμενον** [00029]
**προλαβὼν** [00087]
**Πρὸς** [00058]
**πρὸς** [00010] [00029]
**προσηγορίαν** [00048]
**Πρόσωπον** [00060]
**προσώπου** [00059] [00077]
**προτέραν** [00116]
**προφήτης** [00094] [00120]
**πρώτοις** [00115]
**Πρῶτος** [00034]
**πρῶτος** [00048]
**πῶς** [00073]

**ῥάβδῳ** [00061]
**ῥεῖθρα** [00036] [00065]
**ῥεῖθρον** [00048]
**ῥίζαν** [00017]
**ῥίζας** [00005] [00010] [00010] [00014] [00030] [00040] [00065]

**σάρκα** [00021]
**σὰρξ** [00061]
**σε** [00075]
**σεν** [00110]
**Σκληρῶς** [00105]
**σοὶ** [00104]
**σοί** [00037] [00056]
**σοι** [00089] [00106] [00122]
**σου** [00027] [00063] [00063] [00075] [00089] [00097]
**στάμνῳ** [00061]
**στῆσαι** [00048]
**σὺ** [00038] [00057] [00063]
**σύμβολον** [00048]
**συμβόλου** [00042]
**συνάπτεται** [00012]
**συναπτομένας** [00010]
**συνάφειαν** [00020]
**συνέρχονται** [00009]
**συνῆλθον** [00020]
**συνουσίας** [00020]
**σχῆμα** [00041] [00060]
**σχιζομένας** [00010]
**σῶμα** [00020] [00084]
**σώματος** [00048]
**Σωτὴρ** [00040]
**σωτηρίας** [00080] [00085]

**Τὰ** [00039]
**τὰ** [00036] [00036] [00038] [00057] [00065] [00087] [00100]
**ταῖς** [00061]
**τὰς** [00010] [00010] [00010] [00030] [00030] [00040] [00040] [00065]
**ταῦτα** [00058] [00073] [00078]
**ταύτης** [00018] [00062]
**τεθέντες** [00081]
**τεθῆναι** [00067]
**τέλει** [00010]
**τέλος** [00022]
**τεμεῖν** [00111]
**τεμὼν** [00042]
**τεχθεὶς** [00010]
**τέως** [00019]
**τῇ** [00027] [00032] [00061] [00061] [00100] [00100] [00101]
**τὴν** [00004] [00004] [00007] [00007] [00007] [00014] [00016] [00017] [00030] [00030] [00040] [00045] [00048] [00048] [00051] [00053] [00053] [00061] [00063] [00068] [00069] [00072] [00074] [00084] [00091] [00092] [00099] [00103] [00107] [00116]
**τηρεῖσθαι** [00087]
**τῆς** [00004] [00007] [00015] [00019] [00052] [00060] [00061] [00062] [00072] [00087] [00090] [00090] [00093] [00093] [00093] [00093] [00100]
**Τί** [00037] [00056] [00067] [00076]
**τί** [00003] [00064] [00071] [00079] [00082] [00082] [00115] [00119]
**τι** [00086] [00086]
**τικτόμενοι** [00020]
**τιμήσας** [00049]
**τινα** [00009]
**τινί** [00086]
**τινὸς** [00042]
**Τίς** [00027]
**Τὸ** [00104]
**τὸ** [00003] [00014] [00014] [00020] [00022] [00023] [00024] [00029] [00036] [00040] [00040] [00040] [00041] [00048] [00048] [00060] [00067] [00077] [00084] [00084] [00086] [00087] [00104] [00111] [00114] [00114] [00115]
**τοίνυν** [00040] [00041]
**τοῖς** [00025] [00025] [00073] [00078]
**τὸν** [00002] [00014] [00019] [00022] [00027] [00029] [00029] [00030] [00034] [00042] [00049] [00049] [00050] [00052] [00069] [00073] [00077] [00084] [00090] [00091] [00092] [00099] [00101] [00110] [00111] [00117]
**τόπον** [00009]
**τόπος** [00015]
**τότε** [00087]
**τοῦ** [00003] [00003] [00004] [00010] [00010] [00013] [00029] [00031] [00034] [00043] [00047] [00048] [00048] [00050] [00052] [00063] [00065] [00065] [00077] [00090] [00103] [00107] [00107]
**Τοὺς** [00070]
**τοὺς** [00003] [00005] [00011] [00012] [00050] [00050] [00053] [00070] [00073] [00080] [00087] [00087] [00088] [00102]
**τουτέστι** [00028]
**Τοῦτο** [00022]
**τοῦτό** [00025]
**τοῦτο** [00024] [00054] [00061] [00067] [00087] [00094] [00116]
**τοῦτον** [00029]
**τούτων** [00082]
**τρέχει** [00011]
**τρέχειν** [00040]
**τρέχῃ** [00029]
**τρέχον** [00040]
**Τρίτον** [00030]
**τρόπον** [00019]
**τρόπος** [00015]

**τύπος** [00013]
**τῷ** [00051] [00061] [00066] [00073] [00073] [00080] [00085] [00090] [00102] [00109]
**τῶν** [00024] [00036] [00053] [00053] [00069] [00072] [00080] [00085] [00085] [00089] [00093]

**ὕδασι** [00012] [00025]
**ὕδατα** [00100]
**ὕδωρ** [00011] [00029] [00036] [00077] [00111] [00114] [00115]
**υἱοί** [00089]
**υἱός** [00075]
**Ὑπέστρεψεν** [00103]
**ὑπήκουσε** [00111]
**ὑπήκουσεν** [00100] [00115] [00116]
**ὑπὸ** [00033] [00087]
**ὑποστρέφων** [00033]
**ὑποχωρεῖ** [00051]

**φαίνεται** [00042] [00049]
**φανῶσι** [00078]
**φέρουσα** [00061]
**φέρων** [00048]
**φησὶν** [00021] [00065] [00075]
**φύσεως** [00022] [00072]
**φύσιν** [00004] [00068]
**φύσις** [00041] [00048]
**φῶς** [00070]
**φωτὶ** [00073]
**φωτὸς** [00070]

**Χριστὸν** [00028]
**Χριστὸς** [00003] [00083] [00092]

**ψαλμῳδὸς** [00036]
**ψιλὸν** [00049]

**ὡς** [00030] [00036] [00061] [00068] [00103]